www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΕΔΕΣΣΗΣ, ΠΕΛΛΗΣ ΚΑΙ ΑΛΜΩΠΙΑΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΚΑΙ ΒΙΟΣ

### ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΧΡΙΣΤΟΦΟΡΟΥ

ΨΑΛΛΟΜΕΝΗ ΤΗι Θ΄ ΤΟΥ ΜΑ·Ι·ΟΥ ΜΗΝΟΣ

Ἐποιήθη ὑπὸ τοῦ Ἀρχιμανδρίτου ΙΩΗΛ ΦΡΑΓΚΑΚΟΥ καὶ ἐκδίδοται τὸ πρῶτον προνοίᾳ τοῦ Σεβασμ. Μητροπολίτου Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας ΚΑΛΛΙΝΙΚΟΥ εἰς πνευματικὴν ὠφέλειαν τῶν Ὀρθοδόξων.

ΑΘΗΝΑΙ 1979

www.tezaurliturgic.ro

# *Π Ρ Ο Λ Ο Γ Ο Σ*

*Ἀπὸ τῶν πρώτων Χριστιανικῶν χρόνων ἀναπέμπονται δοξολογίαι καὶ ὕμνοι πρὸς τοὺς Ἁγίους τοῦ Θεοῦ. Οἱ ἀνήκοντες εἰσέτι εἰς τὴν στρατευομένην Ἐκκλησίαν, ἡμεῖς οἱ ἐπὶ γῆς ζῶντες, ὑμνοῦμεν τοὺς ἐν οὐρανοῖς θριαμβευτὰς ἀδελφούς μας καὶ συγχρόνως τοὺς παρακαλοῦμεν, ζητοῦμεν τὰς πρεσβείας των πρὸς τὸν Θεόν. Ἀλλὰ καὶ ἐκεῖνοι εὔχονται ὑπὲρ ἡμῶν. Πρεσβεύουν ὑπὲρ ἡμῶν, ὡς ἔχοντες παρρησίαν πρὸς τὸν Θεόν. Ὁ ἅγιος ἀπόστολος καὶ εὐαγγελιστὴς Ἰωάννης βλέπει τὰς προσευχὰς τῶν Ἁγίων ὡς χρυσᾶς φιάλας πλήρεις θυμιαμάτων, δηλαδὴ ὡς πολύτιμόν τι (Ἀποκ. 5, 8).*

*Ἐπειδὴ λοιπὸν ὑπάρχει στενότατος σύνδεσμος μεταξὺ ἡμῶν καὶ τῶν ἐν οὐρανοῖς ἀδελφῶν καὶ ἐπειδὴ ἔχομεν ἀνάγκην τῶν πρεσβειῶν αὐτῶν, ἔχουν συνταχθῆ ἱεραὶ Ἀκολουθίαι καὶ Παρακλητικοὶ Κανόνες.*

*Ἀκολουθοῦντες τὴν παράδοσιν αὐτὴν καὶ ἐπιθυμοῦντες νὰ τιμήσωμεν τὸν ἅγιον Μεγαλομάρτυρα Χ ρ ι σ τ ο φ ό ρ ο ν καὶ νὰ ζητήσωμεν τὴν βοήθειαν αὐτοῦ, παρεκαλέσαμεν τὸν πανοσιολογιώτατον Ἀρχιμανδρίτην π. Ἰωὴλ Φραγκάκον, Ἱεροκήρυκα τῆς ἱερᾶς Μητροπόλεως, ἵνα ποιήσῃ ἱερὰν Ἀκολουθίαν καὶ Παρακλητικὸν Κανόνα εἰς τὸν ἅγιον Χριστοφόρον.*

*Ἡ ἱερὰ Ἀκολουθία ἐγκριθεῖσα ὑπὸ τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος «ὡς καλῶς ἔχουσα», ἐκδίδοται τύποις ὑπὸ τῆς Ἱερᾶς Μητροπόλεως πρὸς δοξολογίαν τοῦ Ἁγίου καὶ ψυχικὴν ὠφέλειαν τῶν Χριστιανῶν.*

*Ἐπὶ τούτοις εὐχόμεθα ὅπως «ὁ θαυμαστὸς Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ», διὰ πρεσβειῶν τοῦ ἁγίου Μεγαλομάρτυρος Χριστοφόρου, σκέπῃ τὰς Ἐνορίας, ἐν αἷς ἱεροὶ Ναοὶ πρὸς τιμὴν τοῦ Ἁγίου ἀνηγέρθησαν, ἀλλὰ καὶ τοὺς ὁδηγοὺς ὀχημάτων καὶ πάντας τοὺς Χριστιανούς.*

*Ἐν ἱερῷ Ἐπισκοπείῳ τῇ ια΄ Φεβρουαρίου 1979, Κυριακῇ Τελώνου καὶ Φαρισαίου.*

† Ὁ Ἐδέσσης, Πέλλης, Ἀλμωπίας Καλλίνικος

www.tezaurliturgic.ro

# ΜΗΝΙ ΜΑΪΩ Θ΄.
# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΧΡΙΣΤΟΦΟΡΟΥ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Γλώττῃ ψευδορρήμονι, ὁ δυσσεβέστατος τύραννος, ἠβουλήθη πανεύφημε, τὴν σὴν ἀμετάτρεπτον, καταλῦσαι γνώμην, ἀλλ᾿ αἵματι μάκαρ, ἐν τῷ σταδίῳ θαυμαστῶς, τῆς ἀθεΐας γλωσσῶν τὸ φρύαγμα, μετ᾿ ἤχου ἐξεφαύλισας, καὶ ὡς πανάγιον σφάγιον, προσηνέχθης τῷ κτίστῃ σου, Χριστοφόρε ἀοίδιμε.

Ξίφει τελειούμενος, μεγαλομάρτυς μακάριε, πρὸς τὰ ἄνω σκηνώματα, ἀνῆλθες γηθόμενος ὑπὸ τῶν ἀγγέλων, καὶ στέφος τῆς νίκης, ἀναδησάμενος σοφέ, πολυταράχου ἐχθροῦ τὰς φάλαγγας, δεινῶς κατετραυμάτισας, δι᾿ ὃ λιταῖς σου δεόμεθα, Χριστοφόρε ἀπόστησον, ἀφ᾿ ἡμῶν τὸν δυσώνυμον.

Ὅμιλον δημίων σου, τὸν ἐκτακέντα τῷ καύσωνι, ἀθεΐας πανόλβιε, τοῖς ρείθροις κατήρδευσας, τῶν σεπτῶν δογμάτων, Χριστοῦ τοῦ Σωτῆρος, καὶ σεβασμάτων τῶν ψευδῶν, τὴν ματαιότητα ἀπεξήρανας, ἰσχύϊ τῇ τοῦ Πνεύματος, πανσθενουργῷ τοῦ Κυρίου σου, ὡς ἀστὴρ θεοπύρσευτος, διαλάμπων τοῖς πέρασι.

www.tezaurliturgic.ro



Πᾶσαν πολυμήχανον, τῶν ἀσεβούντων ἀπόνοιαν, τῶν μελῶν τὴν ἐκπύρωσιν, χαλκοῦν ἱματίδιον, αἰκισμοὺς ἀφάτους, πορνῶν τὰς ἐφέσεις, ἐρεσχελίας τῶν γλυπτῶν, τὰς ἐπιθέσεις τοῦ πολεμήτορος, βελίαρ τοῦ ἀλάστορος, καὶ τὴν τῆς κάρας ἀπότμησιν, σταθερῷ τῷ φρονήματι, καθυπέστης πανάριστε.

Δόξα. Ἦχος α΄.

Τοῖς φεγγοβόλοις σου λάμψεσι, τὸ σκότος τῆς πολυθεΐας ἐκδιώκων, τὴν παράφρονα τῶν διωκτῶν λύτταν κατέλυσας, καὶ λαμπρυνθεὶς τῇ τῶν ἄθλων λαμπρότητι, ἐχώρησας πρὸς τὴν τῆς κάρας ἐκτομήν, κληρούμενος τὰ οὐράνια. Ὅθεν τανῦν μετὰ τῶν μαρτύρων συναγάλλων, μὴ παύσῃ πρεσβεύων, Χριστοφόρε ἔνδοξε, ὑπὲρ πάντων ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὤφθης μάρτυς Χριστοῦ, ὡς βότρυς ἀποστάζων, τὸν οἶνον ἰαμάτων, ὀξείᾳ σου πρεσβείᾳ, βροτοῖς τοῖς δεομένοις σου.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Κάραν σου τὴν σεπτήν, γενναίως ὑποκλίνας, ὦ Χριστοφόρε μάρτυς, τὴν τμῆσιν καθυπέστης, ὡς μάρτυς ἀξιάγαστος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Δρόσον τοῦ Οὐρανοῦ, ἐν μέσῳ τῶν βασάνων, ἐδέχθης Χριστοφόρε, Χριστοῦ ἐπιφανέντος, αὐγᾶσαί σε πανεύφημε.

www.tezaurliturgic.ro



Δόξα. Τριαδικόν.

Ἔρωτι πτερωθείς, Τριάδος τῆς Ἁγίας, ἀθύρματα ὡς παίδων, μυθεύματα εἰδώλων, ἐσκέδασεν ὁ πάντιμος.

Καὶ νῦν. Θεοτοκίον.

Μνήσθητι καὶ ἡμῶν, τῶν ἀνυμνούντων Κόρη, τὴν κλῆσίν σου τὴν θείαν, πρεσβείαις σου Παρθένε, πρὸς τὸν Υἱόν σου Πάναγνε.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Χριστοφόρον πολύαθλον, ἀνυμνῆσαι συνέδραμον, ἐκ περάτων σήμερον θεοσύλλεκτος, φιλομαρτύρων παράταξις, ᾠδὰς ἀναπέμπουσα, τῷ Σωτῆρι τῶν ψυχῶν, τῷ σφοδρῶς κραταιώσαντι, ὡς Φιλάνθρωπος, ἐν παλαίστρᾳ τὸν μάρτυρα τὸν μέγαν, καὶ αὐτῷ ἐπιφανέντι, ὡς παμφαέστατος ἥλιος.

Φοινιχθεὶς ἐν τοῖς αἵμασι, ὡς ἀμνὸς ἐθελόθυτος, τὴν ὁδὸν διώδευσας τοῦ Κυρίου σου, καὶ τοῦ Δεκίου ἠμαύρωσας, τὸ ἄθεον πρόσταγμα, Χριστοφόρε ἀθλητά, θαρσαλέῳ φρονήματι, καὶ βουλήματι, ὡς στρουθίον ρυσθεὶς ἐκ τῶν παγίδων, τῶν πολλῶν τοῦ πολεμίου, ἀνδροπρεπῶς πανᾳοίδιμε.

Ποταμοῖς τῶν αἱμάτων σου, ἡγιάσθη τὰ πέρατα, καὶ δαιμόνων στίφη κατεποντίσθησαν, τῶν ὁπλιτῶν δὲ ὁ ὅμιλος, ἰδών σου τὸ ἄτρεπτον, ἐνευρώθη ἀληθῶς, προσχωρήσας εἰς σκάμματα, τὰ ἐπώδυνα, μετὰ σοῦ τὸν Χριστὸν ὁμολογήσας, ἐν βασάνοις Χριστοφόρε, τῶν ἀθλοφόρων ἰσότιμε.

Δυσμορφίαν τοῦ σώματος, ἐνεργείαις τοῦ Πνεύματος, ὁ Χριστὸς ἐκάλλυνε θεοδόξαστε, καὶ τῶν βροτῶν ὡραιότατος, φανεὶς τοῖς χαρίσμασι, τοὺς συνόντας σοι καλῶς, πρὸς τὸ στάδιον ἤγαγες, πανσεβάσμιε, ἀνασπάσας αὐτῶν ἐκ τῆς καρδίας, τῶν γλυπτῶν τὴν ἀθεΐαν, ὀλεθροτόκον πανεύφημε.

www.tezaurliturgic.ro



Χριστοφόρου τὰ τρόπαια, ποία γλῶσσα μερόπειος, ἀνυμνῆσαι σήμερον δυνηθήσεται; ἐν τῷ σταδίῳ γὰρ ἔδραμε, ποτὲ ὁ πανίερος, ἀγαλλόμενος σφοδρῶς, καὶ πυκτεύων ἐν σκάμματι, ὑπεσκέλισε, τοῦ τυράννου τὰ χάσματα γενναίως, ὡς ἀλείπτης εὐσεβείας, καὶ τῶν δογμάτων ὑπέρμαχος.

Χιτωνίσκον τὸν χάλκειον, πυρωθέντα ἐδρόσιζε, Παρακλήτου Πνεύματος ἡ ἐπίπνοια· τὰς μηχανὰς γὰρ τοῦ δράκοντος, ραδίως ἠδάφισας, Χριστοφόρε ἀθλητά, σταθηρᾷ διανοίᾳ σου, ἀξιάγαστε, καὶ στολὴν τῆς ψυχῆς σου πορφυρώσας, ταῖς ροαῖς τῶν σῶν αἱμάτων, οὐρανοχάλκευτος γέγονας.

Δόξα. Ἦχος πλ. β'.

Τῶν μεγαλομαρτύρων καλλονήν, τὸν τῆς εὐσεβείας στεφανίτην καὶ κήρυκα τῆς πίστεως, κατὰ χρέος ἐν ᾠδαῖς εὐφημήσωμεν· χαίροις πρὸς αὐτὸν φωνοῦντες, ὁ τὸ αἷμα ἐκχύσας τὸ οἰκεῖόν σου ὡς ὕδωρ· χαίροις ὁ τὸν Χριστὸν εὑρὼν ἀντιλήπτορα, καὶ τῶν δυσμενῶν συνθλάσας τὴν μυριώνυμον φάλαγγα, τῇ σῇς γενναιότητι καρδίας· χαίροις τῶν ὁμοφρόνων σοι ἀγαλλίαμα καὶ τοῦ τυράννου τοῦ δεινοῦ ἡ κατάπτωσις, Χριστοφόρε ἀοίδιμε, ὁ ἐν τοῖς στέρνοις, τὸν Δεσπότην σου βαστάσας· ὃν ἱκέτευε λιταῖς σου πανθαύμαστε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

**Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. 43, 9-14)

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ

www.tezaurliturgic.ro

ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν, τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. 3, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. 5, 15 — 6, 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βα-

www.tezaurliturgic.ro



σίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ ἡ τῶν μαρτύρων παράταξις, κατέχουσα ἐν κόλποις, ὡς λαμπρὰν προσθήκην, Χριστοφόρον τὸν πανεύφημον· ἀρρενοφρόνως γὰρ πυκτεύσας, καὶ τὸν ἀγῶνα τὸν καλὸν τελέσας, τὸν στέφανον τοῦ μαρτυρίου εἴληφεν. Ὅθεν καὶ ἡμεῖς, ἐν τῷ σεπτῷ αὐτοῦ τεμένει, σήμερον συνδραμόντες ἀνακράζομεν· πρέσβευε Χριστῷ τῷ Θεῷ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Ὄντως Χριστοφόρε πολύαθλε, τὴν θλάσιν τῶν μελῶν, ἐθελουσίᾳ γνώμῃ καθυπέμεινας· σοῦ γὰρ ὡς θεόδεκτον σφάγιον, τῷ Κυρίῳ δουλεύοντος καὶ τῷ πνεύματι ζέοντος, ὁ παράνομος τύ-

www.tezaurliturgic.ro



ραννος, ἀθλίως ἐξετραχηλίσθη. Διὸ ἱκετεύομεν, μὴ διαλίπῃς πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Ὁ ἀπατήσας ἐν τῇ Ἐδὲμ τὴν προμήτορα, πορνικὴν ξυνωρίδα, κατὰ σοῦ δολίως ἐκίνησεν· ἀλλ᾽ ἱερωτάτοις σου λόγοις, ταύτας πρὸς τὸν Χριστὸν ζωγρήσας, τὸν παλαμναῖον συνέτριψας· τῆς γὰρ ματαίας ἡδονῆς καὶ ψυχοφθόρου λύμης, τὴν ἀγωγὴν καταλιποῦσαι, ὡς ἀμνάδες προσήχθησαν τῷ βασιλεῖ τοῦ παντός. Ὅθεν Χριστοφόρε πανένδοξε, σὺν Ἀκυλίνῃ τῇ θεόφρονι καὶ Καλλινίκῃ, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Βαβαὶ τῆς ἀλλοκότου ἐπινοίας τῶν εἰδωλομανέντων! Τὸν μάρτυρα ἰδόντες ἐγκαρτερήσαντα, τοῖς αἰκισμοῖς ἕως τέλους, ἔπνεον μένεα, κατ᾽ αὐτοῦ οἱ παμπόνηροι. Τὰ ἐπίπονα σκάμματα, τὰ πολύπλοκα θήρατρα, καὶ τὰ δεινὰ παλαίσματα τῇ τοῦ Χριστοῦ δυνάμει, Χριστοφόρε ἐσκέδασας. Ὅθεν καὶ ἡμεῖς, τὴν μνήμην σου τελοῦντες, τῶν ἀγωνισμάτων μνημονεύομεν λέγοντες· πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄.

Ξένον καὶ παράδοξον ὄντως, τὸ ἐν σοὶ τελεσθὲν μυστήριον. Ὁ τροφεὺς τῆς κτίσεως, ὤφθη ἐν τῇ καμίνῳ τῆς φλογός, ἀναψύχων σε. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, καθορᾶται ὑπὸ σοῦ πανσεβάσμιε. Ὃν πάλαι ἰδὼν Ἡσαΐας, ἔφριξε καὶ ἐφοβήθη, ὡσανεὶ φίλος φίλῳ διαλέγεται πανόλβιε. Ὁ πηγὰς καὶ ἀβύσσους ἐξουσιάζων, τῇ νοτίδι τῆς χάριτος ἀπεμάρανε, τοῦ πυρὸς τὸ ἀνεπίσχετον ρεῦμα· ὃν ἱκέτευε, Χριστοφόρε πολύαθλε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

Ἦχος α'. Πανεύφημοι μάρτυρες.

Πρὸς πάλην χωρήσας ἀνδρικῶς, ἐν ἀρχαίοις ἔτεσι, μακαριώτατε ἔσβεσας, ὡσεὶ ἀράχνια, εἰδωλομανέντων, κενοφώνων ῥήματα, ταῖς σαῖς ἀμετατρέπτοις ἐνστάσεσι, καὶ ἐν τοῖς αἵμασι, τοῖς τιμίοις σου πανάριστε, Χριστοφόρε, μαρτύρων ἀγλάϊσμα.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Σημεῖα καὶ τέρατα σεμνέ, ὑπὸ σοῦ γεγόνασι, τῇ παντουργίᾳ τοῦ Πνεύματος, ἡ ῥάβδος ἤνθησεν, ὥσπερ τοῦ προφήτου, Ἀαρὼν τοῦ μάκαρος· ἡ βρῶσις ἐπληθύνθη τῇ χάριτι· ἄγγελος ὤφθη σοι, καὶ ἠλλοίωσας πρὸς κρείττονα, τῶν δημίων, δυσώνυμον ὅμιλον.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Βαβύλας ὁ θύτης τοῦ Χριστοῦ, Ἐπισκόπων κλέϊσμα, εἰς Ἀντιόχειαν πρόπαλαι, Ἁγίῳ Πνεύματι, μάρτυρα Κυρίου, τὸν κληθέντα Ῥέπρεβον, καλῶς πρὸς τὸ σωτήριον φώτισμα, ἐποδηγέτησε, Χριστοφόρον ὁ ἀοίδιμος, προσφωνήσας, αὐτὸν ἐν τοῖς ὕδασι.

Δόξα. Ἦχος πλ. δ'.

Οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας, ἀλλ' ἐν δυνάμει Πνεύματος, τὸν ἐχθρὸν κατέβαλες, Χριστοφόρε ἀοίδιμε. Ποία γλῶσσα εὐφημήσεται, τῶν στρεβλώσεων τὰς ἀλγηδόνας, τὰς ἐπὶ τῶν νώτων μάστιγας, τὰς τομὰς καὶ τὰς ξέσεις, ἃς ὑπήνεγκας δι' ἀγάπην, τοῦ σαρκὶ παθόντος Χριστοῦ. Καὶ νῦν μετὰ τῶν μαρτύρων συναγαλλόμενος, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Καὶ νῦν. Τῆς Ἑορτῆς.

Νῦν Ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος γ'. Θείας Πίστεως.

Ρείθροις αἵματος, πεφοινιγμένος, πρὸς τὰ δώματα, τῶν ἀθλοφόρων, ἀπὸ γῆς μετετέθης μακάριε· ὡς γὰρ ἀμνὸς Χριστοφόρε ἀμώμητος, ὑπὲρ Χριστοῦ τὴν σὴν κάραν ὑπέκλινας· μάρτυς ἔνδοξε, ἀεὶ τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α′ Στιχολογίαν, Κάθισμα.

Ἦχος α′. Τὸν τάφον σου Σωτήρ.

Μυρίας ἀπειλάς, κατεφρόνησας μάρτυς, τῷ ξίφει τοῦ Σταυροῦ, ὁπλισθεὶς Χριστοφόρε· φλογὸς γὰρ ἀπεμάρανας, ἀσινῶς τὴν ἐκπύρωσιν, νοτιζόμενος, τῇ θείᾳ δρόσῳ Κυρίου· ὃν ἱκέτευε, ταῖς σαῖς ἁγίαις πρεσβείαις, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα. Ὅμοιον.

Ὢ θαύματος φρικτοῦ, Χριστοφόρος ὁ θεῖος, χιτώνιον χαλκοῦν, πυρωθὲν ὑπ᾽ ἀνόμων, ἐνδύεται στερρότατα, διαμένων ἀλώβητος· δι᾽ ὃ ἅπαντες, δοξολογοῦσι τὸν Κτίστην, ὁρῶντες τὸν μάρτυρα.

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ′. Ἐπεφάνη σήμερον.

Ὡς ἀρνία ἄκακα, ξίφει σφαγέντα, μετὰ σοῦ ἐνήθλησαν, ἐκ τῶν συνόντων σοι πολλοί· ὅθεν τανῦν συγχορεύουσι, τοῖς πρωτοτόκοις, Χριστοῦ οἱ πανάριστοι.

Δόξα. Ὅμοιον.

Ἀσελγῶν ἠλλοίωσας, γυναίων ἦθος, Χριστοφόρε ἔνδοξε, ἱερολόγῳ διδαχῇ, τῆς τρισηλίου θεότητος, ἀποξηράνας, εἰδώλων μυθεύματα.

www.tezaurliturgic.ro



Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὸ κάλλος τὸ ἄρρητον, τῆς φωταυγοῦς σου μορφῆς, Σωτὴρ περιήστραψε, τοῦ Χριστοφόρου ψυχήν, ὑπὲρ τὸν ὁρώμενον· ὅθεν καὶ τῶν τυράννων, φυγαδεύει τὸ θράσος, φλέγει δὲ τῶν δαιμόνων, φρυγανώδη ἀπάτην· διόπερ Χριστέ, ἀεὶ εὐλογοῦμέν σε.

Δόξα. Ὅμοιον.

Εἰς φρέαρ σὲ δήμιοι, συντετριμμένον ποτέ, ὡς γράφει τὸ λόγιον, τοῦ Πατριάρχου Δαυΐδ, ἀπέρριψαν πάντιμε, δήσαντες τῇ ἁλύσει, τῶν χειρῶν ξυνωρίδα, σοῦ τοῦ ὑπὲρ τοῦ Κτίστου, γεγονότος θυσία· διό σε Χριστός, ταχὺ ἐξανέστησε.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Οἱ Ἀναβαθμοί. Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ τοῦ ἁγίου Γεωργίου.

Ὁ Ν' Ψαλμός.

Δόξα.

Ταῖς τοῦ ἀθλοφόρου, πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

www.tezaurliturgic.ro



Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Σήμερον ὁ μάρτυς ξίφει τελειοῦται, καὶ καταισχύνης ὁ βρόχος συσφίγγει τὸν βελίαρ. Σήμερον ὀρύξας τάφον, ὁ τῶν δημίων ἀπάνθρωπος τύραννος, ἐν αὐτῷ καταβαίνει. Σήμερον ὁ οὐρανὸς τὸν μάρτυρα πανδημεὶ ὑποδέχεται, καὶ ἡ γῆ πιαίνεται, τοῖς ρείθροις τῶν αἱμάτων. Διὸ πάντες Χριστοφόρε, τὸ χαῖρε προσφωνοῦμεν λέγοντες· χαίροις μάρτυς ἀήττητε.

Εἶτα οἱ Κανόνες τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς·

«Τοῦ Χριστοφόρου ἄγομεν μνήμην ὕμνοις».

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Τοὺς ποταμοὺς τῶν αἱμάτων σου ἀθλητά, ἀνυμνείσθω σήμερον, πᾶσα γλῶσσα γηγενῶν, ἐν ᾠδαῖς καὶ ὕμνοις ψαλμικῶς, Χριστοφόρε τοῦ Χριστοῦ, τὸ θεῖον σφάγιον.

Ὁ θεϊκὴν πανπευχίαν ἀναλαβών, καὶ τῆς πλάνης φρύαγμα, ἀνασπάσας ἀνδρικῶς, μετετέθης μάρτυς πρὸς μονάς, Βασιλείας τῆς Καινῆς, θεοφορούμενε.

Ὑπομονῆς τὸ κειμήλιον ἀληθῶς, Χριστοφόρε ἔνδοξε, ἀνεδείχθης ἐν δεινοῖς, καὶ φωτὶ τῷ θείῳ λαμπρυνθείς, τῶν εἰδώλων σκοτασμόν, μάκαρ ἐδίωξας.

Θεοτοκίον.

Χαῖρε Μαρία κυρία πάντων ἡμῶν, χαῖρε Κόρη ἄσπιλε, χαῖρε μῆτερ τῆς ζωῆς, χαῖρε ἄστρον ἄδυτον βροτῶν, χαῖρε ὄρος τοῦ Θεοῦ, τὸ ἀλατόμητον.

www.tezaurliturgic.ro



Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος.

Ρ υσθῆναι μάκαρ τῶν κακῶν, ἐπεπόθεις εἰδώλων, καὶ δεινῆς τυραννίδος, διαρρῆξαι τοῦ Σατᾶν· διό σοι ὤφθη Σωτήρ, κατηφείας πάσης σε λυτρούμενος.

Ι λὺν ἀτόπων ἡδονῶν, τῶν φυσάντων γονέων, καὶ τῶν σῶν προπατόρων, ἐκτινάξας πρὸς τὸ φῶς, τὸ ἄκτιστον γεγηθώς, Χριστοφόρε ἔνδοξε προσέδραμες.

Σ ταυροῦ δυνάμει θαυμαστῶς, τοῦ βελίαρ τοὺς πλόκους, καταλύσας παμμάκαρ, ἐδειγμάτισας αὐτόν, σὺν τοῖς ἀγγέλοις αὐτοῦ καὶ ψυχήν σου μάρτυς ἠλευθέρωσας.

Θεοτοκίον.

Τ ῷ κράτει Μῆτερ τῶν παθῶν, ριπισθεὶς ἐν τῷ λάκκῳ λογισμῶν τῶν κακούργων, καταβέβηκα ἁγνή, καὶ ἐν ὀδύνῃ βοῶν, νοητῶν δρακόντων με ἐξάρπασον.

Κάθισμα.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τ ῆς μορφῆς σου θεόφρον, φύσει τὸ ἄκοσμον, τῇ προαιρέσει καὶ γνώμῃ ἐκαλλοποίησας, ὅτι δοχεῖον δωρεῶν, τοῦ θείου Πνεύματος, τὸ ἀκένωτον φανείς, ἀνεδείχθης ποδηγός, ἀνθρώπων μαρμαρυγαῖς σου, καὶ νῦν ἀπαύστως πρεσβεύεις, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ο ν πάντα ἔτρεμον, βροτῶν συστήματα, πρὸ τῶν ἄθλων θαμβοῦται τῶν σῶν σοφέ, σοῦ φωνοῦντος ἅγιε· Τῷ σταυρωθέντι δι' ἡμᾶς, πρέπει πᾶσα ἡ προσκύνησις.

Φ ωτὶ τῆς χάριτος, Σωτὴρ κατηύγασας, τὴν ψυχὴν Χριστοφόρου θεοπρεπῶς, πᾶσαν τὴν σκοτόμαιναν, τῶν φθισιμβρότων διδαχῶν, ἐκφαυλίσας ὡς Φιλάνθρωπος.

www.tezaurliturgic.ro

Ο γῆν καὶ θάλασσαν, δρακί σου Κύριε, περιέπων ἀκόπως ὡς πλαστουργός, τὰ μηχανουργήματα, τοῦ ἀρχεκάκου πτερνιστοῦ, ἀπὸ τοῦ μάρτυρος ἀπέστησας.

Θεοτοκίον.

Ρευστὴν καὶ βρότειον, τὴν φύσιν εἴληφε, ὁ Υἱός σου Παρθένε ξενοπρεπῶς, καὶ θεώσας πρόσλημμα, δι᾿ εὐσπλαγχνίαν ὡς Θεός, ταύτην ἄρρευστον ἀνέπλασε.

᾿Ωδὴ ε΄. Τῷ θείῳ φέγγει σου ᾿Αγαθέ.

Ο θνεῖον τὸ δόγμα καὶ μωρόν, τῶν παρανομούντων δυναστῶν, τοῖς πιστοῖς μάκαρ ἐδήλωσας, ἐλευθέρᾳ μάρτυς φωνῇ, ὡς θεῖον πτηνόν, ὁδὸν τῆς σωτηρίας αὐτοῖς δεικνύμενος.

Υπὸ ρημάτων τῶν σῶν ποτέ, τῶν πορνευομένων ξυνωρίς, πρὸς σωτηρίας τὸν δίαυλον, ἐκ τοῦ λάκκου ἤχθη θηρῶν, τῶν ὄντως δεινῶν, παθῶν τῶν ψυχολέθρων, τοῦ κοσμοκράτορος.

Αλήκτου πάντιμε χαρμονῆς, τῆς τῶν ἐφημέρων προελών, πρὸς κληρουχίαν τὴν ἄνωθεν, Χριστοφόρε μάρτυς σοφέ, ὡς πύκτης Χριστοῦ, στολῇ πεφοινιγμένῃ, σὺ προσεχώρησας.

Θεοτοκίον.

Γενοῦ τοῖς μέροψι βοηθός, ὡς ἐν τῷ πελάγει ὁ φανός, καὶ τῆς ψυχῆς τὸ κλυδώνιον, ταῖς λιταῖς σου Κόρη ἁγνή, ἀπέλασον νῦν· διό σε ὁμοφρόνως, καθικετεύομεν.

᾿Ωδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Ως στῦλος ἀκλόνητος, τὰς πυρώσεις ὑποστάς, τοὺς αἰκισμοὺς τοῦ σώματος, καὶ χαλκοῦν ἱματίδιον, ἀκρατῶς ἐβόας· ᾿Ανάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Μαινέσθω τὰ κύματα, ἀθεΐας τὰ πυκνά, πολυθεΐας πέπτωκε, τῶν σεβασμάτων, ἅπαντα τὰ γλυπτά, ροῇ τῶν αἱμάτων σου,

www.tezaurliturgic.ro



Χριστοφόρε μαρτύρων ἰσοστάσιε.

Ἐνθέως τὴν ἄτολμον, συμμορίαν ὁπλιτῶν, φωταγωγήσας ἔνδοξε, τοῦ τυράννου κατέλυσε μηχανάς, καὶ πάντα τὰ σκάμματα, Χριστοφόρε ἀγγέλων ὁμοδίαιτε.

Θεοτοκίον.

Νεφέλη ὁλόφωτε, καὶ αὐγὴ ὡς μυστική, Δικαιοσύνης ἥλιον, τῆς Βασιλείας μῆτερ τῶν Οὐρανῶν, ἀσπόρως ἐκύησας, τῶν βροτῶν καινουργήσασα τὸ φύραμα.

Κοντάκιον.

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τομαῖς σπαθισθείς, καὶ ἄθλοις ἐγκοσμούμενος, τυράννου ἰσχύν, ἐκ ρίζης ἀνέσπασας, Χριστοφόρε χάριτι· ὅθεν πάντα τὰ λίθινα, τῷ σῷ αἵματι ἔπληξας, ὡς μάρτυς ἀήττητος πανόλβιε.

Ὁ Οἶκος.

Ριζοτομήσας τῆς πλάνης τὸ δαιμονῶδες γαυρίαμα, καὶ ὁλοκαρδίως ποθήσας, τῆς κάρας τὴν ἔκτμησιν, ἔκλινας τὸν αὐχένα, ἀθλητὰ τοῦ Χριστοῦ πανεύφημε. Σὺ γὰρ ὁλοκάρπωμα γέγονας, προσκομίζων τὸ ἴδιον αἷμα τῷ σῷ Δεσπότῃ φαιδρῶς. Διὸ ἐμβατεύεις εἰς οὐρανοὺς μετὰ τῶν μαρτύρων συναγαλλόμενος καὶ κοινωνῶν τῆς λαμπρότητος τοῦ Κυρίου. Ὅθεν μὴ παύσῃ πρεσβεύων ὑπὲρ τῶν τιμώντων σε Χριστοφόρε, ὡς μάρτυς ἀήττητος πανόλβιε.

Τῇ Θ' τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Χριστοφόρου.

Στίχοι.

Τμῆσιν φέρων κάρας ὁ Χριστοφόρος
τοῦ πτερνιστοῦ ἔθλασε μυσαρὸν θράσος.
Φασγάνῳ ἀμφ' ἐνάτῃ Χριστοφόρος ἀπῆρε βίου.

www.tezaurliturgic.ro



Οὗτος ὁ ἐν μάρτυσι θαυμαστὸς λέγεται ὅτι ἦν ἀπὸ χώρας εἰδωλολατρῶν, τῶν κατεσθιόντων τοὺς ἀνθρώπους καὶ ὅτι πρότερον ἀνθρώπους ἤσθιεν, ὕστερον δὲ μετὰ τὸ πιστεῦσαι Χριστῷ μετεμορφώθη. Τὸ ἀρχικὸν αὐτοῦ ὄνομα ἦν Ῥέπρεβος, ὅπερ σημαίνει ἀδόκιμος καὶ ἀποδεδοκιμασμένος. Κατασχεθεὶς αἰχμάλωτος ἐν πολέμῳ ὑπὸ κόμητός τινος καὶ ἀνθρωπίνως μὴ δυνάμενος φθέγξασθαι, προσηύξατο τῷ Θεῷ καὶ ἐπέμφθη αὐτῷ ἄγγελος παρασκευάσας αὐτὸν εἰς τὸ λαλεῖν. Ὕστερον δέρεται ὑπὸ Βακχείου τινός, ὅστις καὶ ἀνήγγειλε τῷ Βασιλεῖ περὶ αὐτοῦ καὶ διὰ τὸ ἄγριον καὶ βλοσυρὸν τῆς ὄψεως αὐτοῦ.

Ὁ οὖν Δέκιος ἀπέστειλε διακοσίους στρατιώτας ἵνα κατάσχωσι καὶ ἀγάγωσιν αὐτὸν δεδεμένον ἐν τοῖς βασιλείοις. Οὗτοι ἰδόντες τὸν μακάριον Χριστοφόρον ποιοῦντα σημεῖά τινα ἐπίστευσαν τῷ Κυρίῳ, βαπτισθέντες ὁμοῦ μετὰ τοῦ μάρτυρος εἰς τὴν Ἀντιόχειαν ὑπὸ τοῦ ἁγίου Ἱερομάρτυρος Βαβύλα. Ὅτε παρέστη τῷ κριτηρίῳ τοῦ τυράννου, ἐπέμφθη ὑπὸ τοῦ Δεκίου δολίως ξυνωρὶς ἀσέμνων γυναίων, ἤγουν ἡ Καλλινίκη καὶ ἡ Ἀκυλίνα, ἵνα αὐτὸν ζωγρήσωσιν εἰς τὴν πορνείαν. Ζωγρηθεῖσαι ὅμως αὗται ὑπ' αὐτοῦ εἰς τὴν τοῦ Χριστοῦ πίστιν, ἐκοιμήθησαν κεφαλοτομούμεναι καὶ εἰλήφασι τὸν λαμπρὸν τοῦ μαρτυρίου στέφανον.

Εἶτα ὁ δυσώνυμος βασιλεὺς Δέκιος πολλὰς βασάνους ἐπήνεγκε κατὰ τοῦ μάρτυρος. Ἐνδύσας αὐτὸν χαλκοῦν ἱματίδιον, ἐπιρρίψας αὐτὸν εἰς φρέαρ συντετριμμένον, ξιφοτομήσας καὶ κακοποιήσας ἀπέτεμε τὴν τιμίαν αὐτοῦ κάραν τῇ θ' τοῦ Μαΐου μηνός.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο.

Μολυσμοῖς τῆς ἀσελγείας ἀμαυρώσασα, κάλλος θεουργηθείσης στολῆς, ἡ δυὰς ἀσέμνων γυναίων, μάρτυς ὑπὸ σοῦ, ἐπείσθη βοῆσαι θαυμαστῶς· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Νῦν βελίαρ καθηρέθη τὸ γαυρίαμα, ὄμβροις τῶν σῶν αἱμάτων πνιγείς· ὡς ὁπλίτης γὰρ Χριστοφόρε, ἔθλασας αὐτοῦ, τὴν κά-

www.tezaurliturgic.ro



ραν βοῶν σεμνοπρεπῶς· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Η ἑδραία καταβάλλει σου πεποίθησις, τὸ σθένος τῶν ἀθέων βροτῶν, τοὺς συνόντας δὲ πρὸς τὰ κρείττω, ὤφθης ποδηγῶν, κραυγάζων θεόφρον· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Μακαρία ἡ κοιλία ἡ βαστάσασα, τὸν Λόγον τοῦ ἀνάρχου Πατρός, μελῳδήσασα, ἐκ τοῦ πλήθους πάλαι τῶν πιστῶν, γυνή τις ἐδίδαξε βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Η σορὸς τῶν τιμίων μάκαρ λειψάνων σου, ὑπὸ Πέτρου τοῦ θύτου καθωραΐζεται, μύροις τοῖς τερπνοῖς· δι᾽ ὃ πάντες ἐκραύγαζον· Ἀνυμνολογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Νοερῶν αἱ δυνάμεις ὑπερεθαύμασαν, τῶν σῶν ἄθλων ἰδοῦσαι τὸ καρτερόψυχον, μάρτυς τοῦ Χριστοῦ, καὶ ἐν θάμβει ἀνέμελπον· Ἀνυμνολογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Υπὸ μάλης λαμπάσι ποτὲ ἐφλέγεσο, ἀλλ᾽ ἡ δρόσος ἡ ἄνωθεν τοῖς σοῖς καύμασι, θεῖον γλυκασμόν, Χριστόφορε ἐπέσταξε· ὅθεν ὑμνολόγεις Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Μαριὰμ σοῦ τὸ ἄσπιλον ὑπερκείμενον, νοῶν πάντων ὑπάρχει Θεοχαρίτωτε· ὅθεν τῶν βροτῶν, ἡ χορεία κραυγάζει σοι· Ἀνυμνολογοῦμεν Υἱόν σου Θεοτόκε.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Νοὸς τρισμάκαρ, τὸν ζόφον λέλυσο, καὶ τὴν πυκνὴν ὁμίχλην ὀφλημάτων ἀπέλασον, ἀφ᾽ ἡμῶν τῶν σήμερον βοώντων πιστῶς, σὸν ὕμνον Χριστοφόρε· ὅθεν εἰκόνι σου, πίστει παρεστῶτες τὸν αὐχένα ὑποκλίνομεν.

www.tezaurliturgic.ro

Ὀφθεὶς τῷ κάλλει Χριστὲ προσώπου σου, ὃ οὐ τολμᾷ ὁ δῆμος τῶν ἀγγέλων θεάσασθαι, Χριστοφόρου ψυχὴν περιήστραψας, πᾶσαν μηχανουργίαν, τοῦ πολεμήτορος, σὺν ταῖς κακουργίαις δυναστῶν κατατροπούμενος.

Ἴᾶται πάντας σεμνὲ ἡ κλῆσίς σου· τῶν ἁμαξῶν ὑπάρχει ἡ λυχνία ἀείφωτος, τῆς πανώλους ἐστὶν ἡ ἀφάνεια, λύμης τε ἀνιάτου τὸ καθαρτήριον, καὶ τῶν δαιμονώντων ἐλατὴρ θεομακάριστε.

Θεοτοκίον.

Σαρκός σου μῆτερ Παρθένε φύραμα, ὁ τῷ Πατρὶ ὁμότιμος Υἱὸς καὶ τῷ Πνεύματι, δανεισθεὶς τῇ χάριτι, λαμπρύνει ἁγνή, φύσιν τὴν ἡμετέραν, τὴν ἁμαρτήμασιν, ὅλως σκοτισθεῖσαν συνεργείᾳ τοῦ πτερνίσαντος.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸς τοῖς ἄστροις.

Πεφοινιγμένην χλαῖναν, τοῖς τῶν αἱμάτων σου κρουνοῖς, περιβληθεὶς Χριστοφόρε, νικητικῶς εἰς τὰς μονάς, τῶν Οὐρανῶν μετετέθης, ὡς στεφανίτης Κυρίου.

Πεπυρσευμένος μάρτυς, τῷ θείῳ ἔρωτι Χριστοῦ, αὐτοθελῶς προσκομίζεις, τῷ σῷ Δεσπότῃ σεαυτόν, ὡς ὁλοκάρπωμα θεῖον, ὦ ἀθλητὰ Χριστοφόρε.

Καὶ τὸ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ἡ τοῦ Χριστοῦ Ἐκκλησία, λαμπρῶς ἀγάλλεται, ἐπὶ τῇ θείᾳ μνήμῃ, τοῦ κλεινοῦ Χριστοφόρου· τῆς πλάνης γὰρ τὸ δένδρον ριζοτομῶν, τῶν ἀθέων σεβάσματα, καὶ τοῦ τυράννου τὸ θράσος τὸ μανικόν, θεοφρόνως ὑπεσκέλισε.

 www.tezaurliturgic.ro 

Τοῖς φεγγοβόλοις σου λόγοις, νοὸς τὸ ἄστατον, τῶν πορνικῶν γυναίων, καὶ δημίων ἰθύνας, πρὸς τρίβον σωτηρίας τὴν ἀσφαλῆ, καὶ πολλῶν ὁμοφρόνων σοι, ἐπιστηρίξας τὴν πίστιν εἰς τὸν Χριστόν, πρὸς τὰ σκάμματα ἐχώρησας.

Κολαστηρίων ἀφάτων, τὰ κινδυνεύματα, τῇ θεοψίᾳ μάρτυς, τοῦ προσώπου Κυρίου, παμμάκαρ ἐνηδόμενος θαυμαστῶς, ὡς τὸ ἄσειστον τείχισμα, ἐν τῷ σταδίῳ συνέτριψας κραταιῶς, Χριστοφόρε πανσεβάσμιε.

Ὁλοκαρδίως τὸ αἷμα, τὸ σὸν πανόλβιε, ὑπὲρ Χριστοῦ ἐκχύσας, τῶν δαιμόνων τὰ στίφη, ἐπόντισας ὡς πάλαι τὸν Φαραώ, τῇ δυνάμει ὁ Κύριος, καὶ συμπολίτης μαρτύρων ἐν οὐρανῷ, ἀνεδείχθης παναοίδιμε.

Δόξα. Ἦχος πλ. α΄.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, βοήσωμεν τῷ πνεύματι, ψαλμικῶς δὲ πανηγυρίσωμεν, τῇ χαρμοσύνῳ μνήμῃ τοῦ ἀθλοφόρου Χριστοῦ. Βασιλεῖς καὶ ἄρχοντες συνελθέτωσαν, καὶ τὸν στεφανίτην τιμάσθωσαν ἐν ὕμνοις, ὡς τὸ σκότος λύσαντα, τῶν σεβασμάτων ψευδῶν θεῶν, τῇ ἰσχύϊ τοῦ Παρακλήτου. Φιλεόρτων τὰ συστήματα, τὸν τῆς Ἐκκλησίας τροπαιοφόρον ὁπλίτην, συνδραμόντες εὐφημήσωμεν· εὐσθενείας τὸν θησαυρόν, τῶν ἀσθενῶν θεραπείαν, τῆς πολυθεΐας τὴν λύσιν, τὸν τρόμον τῶν γλυπτῶν θεῶν, τὴν ἡδύφθογγον τῆς εὐσεβείας λύραν, τὸν καθαιρέτην δεινοῦ βελίαρ, τὸν ποταμὸν τῶν πολλῶν χαρίτων, ἁπάντων τῶν γηγενῶν ἰατρὸν ἄριστον, μάρτυρα τοῦ Κυρίου, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Χριστοφόρε θεόληπτε, ἐμφρούρησον ἡμᾶς, τῇ σῇ ἐπιστασίᾳ, καὶ πρέσβευε τῷ σῷ Δεσπότῃ, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ' καὶ ς' Ὠδή. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ ἁγίου Γεωργίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις ἀθλοφόρων ἡ καλλονή, χαίροις τροπαιοῦχε καὶ ἐν μάρτυσι θαυμαστέ, χαίροις Χριστοφόρε, Χριστοῦ ὁ στεφανίτης, καὶ πάντων τῶν ἀγγέλων ὁ ὁμοδίαιτος.